# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ

## ΨΗΦΙΣΜΑ
## ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ
## ΤΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛΗΣ

ΤΥΧῌ ΑΓΑΘῌ

Πρυτανεύοντος ἐν τῷ Ἀθήνησιν Ἐθνικῷ καὶ Καποδιστριακῷ Πανεπιστημίῳ Μελετίου-Ἀθανασίου Κ. Δημοπούλου, κοσμητεύοντος ἐν τῇ τῶν Φιλοσόφων Σχολῇ Ἀχιλλέως Γ. Χαλδαιάκη καὶ προεδρευούσης ἐν τῷ Τμήματι Θεατρικῶν Σπουδῶν Χρυσοθέμιδος Ἀχ. Σταματοπούλου–Βασιλάκου, ἔδοξεν ὁμοθύμως τῷ Τμήματι

## ΔΙΟΝΥΣΙΟΝ Ν. ΜΟΥΣΜΟΥΤΗΝ

ἄνδρα εὖ τε πεφυκότα καὶ παιδείας ἔμπλεων, περὶ τοῦ νέου ἑλληνικοῦ θεάτρου, ἰδίᾳ δὲ περὶ τοῦ ἑπτανησιακοῦ καλουμένου, πλεῖστα ἀναδιφήσαντα, ἐκμελετήσαντα καὶ συγγράψαντα, ὧν ἕνεκα μεγίστης ἐν τοῖς ὁμοτέχνοις εὐκλείας ἠξιώθη καὶ γέρασιν εὐκλεέσιν ἐτιμήθη, ἔν τε τῇ ἡμετέρᾳ καὶ τῇ ξένῃ, διὰ πάντα ταῦτα ἐπαινέσαι τε αὐτὸν καὶ ἐπίτιμον διδάκτορα τοῦ Τμήματος ἀναδεῖξαι, τὸ δὲ ψήφισμα τόδε μεμβράνῃ ἀναγράψαι καὶ τὴν τοῦ Τμήματος Πρόεδρον ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνοῦσαν καὶ τὰς τιμὰς ἀνειποῦσαν ἐπιδοῦναι αὐτῷ, ᾗ ἂν ἡμέρᾳ ἡ ἀναγόρευσις γένηται, καθ᾽ ἃ νενόμισται.

Ἐγένετο Ἀθήνησι, μηνὸς Ἰουλίου τετάρτῃ καὶ δεκάτῃ, ἔτους πρώτου καὶ εἰκοστοῦ καὶ δισχιλιοστοῦ ἀπὸ Χριστοῦ Γεννήσεως.

Ἡ Πρόεδρος
τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν

ΧΡΥΣΟΘΕΜΙΣ ΑΧ. ΣΤΑΜΑΤΟΠΟΥΛΟΥ–ΒΑΣΙΛΑΚΟΥ

# ΑΝΑΓΟΡΕΥΣΙΣ

Ἐπειδήπερ τὸ Τμῆμα Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου

## ΔΙΟΝΥΣΙΟΝ Ν. ΜΟΥΣΜΟΥΤΗΝ

ἄξιον ἀπέφηνε τοῦ ἐπιτίμου διδακτορικοῦ ἀξιώματος, ἡ δὲ τῶν Φιλοσόφων Σχολὴ τοῦτ᾽ ἀπεδέξατο καὶ ὁ Πρύτανις τῇ τῆς Σχολῆς γνώμῃ ἐπινεύει, διὰ ταῦτα ἐγὼ

## ΙΩΣΗΦ Γ. ΒΙΒΙΛΑΚΗΣ

καθηγητὴς τῆς Θεατρολογίας – Ἱστορίας τοῦ Θρησκευτικοῦ Θεάτρου τοῦ Μεσαίωνος καὶ τῶν νεωτέρων χρόνων, νῦν δὲ τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς Πρόεδρος, χρώμενος τῇ δυνάμει, ἣν παρὰ τῶν πανεπιστημιακῶν νόμων καὶ τοῦ Τμήματος ἔχω λαβών,

## ΔΙΟΝΥΣΙΟΝ Ν. ΜΟΥΣΜΟΥΤΗΝ

ἐπίτιμον διδάκτορα τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν τῆς τῶν Φιλοσόφων Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου δημοσίᾳ ἀναγορεύω καὶ πάσας αὐτῷ τὰς προνομίας τὰς τῷ πανεπιστημιακῷ τούτῳ ἀξιώματι παρεπομένας ἀπονέμω.

Ἐγένετο Ἀθήνησι, μηνὸς Νοεμβρίου πρώτῃ, ἔτους πρώτου καὶ εἰκοστοῦ καὶ δισχιλιοστοῦ ἀπὸ Χριστοῦ Γεννήσεως.

Ὁ Πρόεδρος
τοῦ Τμήματος Θεατρικῶν Σπουδῶν

ΙΩΣΗΦ Γ. ΒΙΒΙΛΑΚΗΣ

# ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΠΡΥΤΑΝΕΥΟΝΤΟΣ

ΕΝ Τῼ ΑΘΗΝΗΣΙΝ ΕΘΝΙΚῼ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚῼ ΠΑΝΕΠΙΣΤΗΜΙῼ

## ΜΕΛΕΤΙΟΥ-ΑΘΑΝΑΣΙΟΥ Κ. ΔΗΜΟΠΟΥΛΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΘΕΡΑΠΕΥΤΙΚΗΣ-ΟΓΚΟΛΟΓΙΑΣ-ΑΙΜΑΤΟΛΟΓΙΑΣ

ΚΟΣΜΗΤΕΥΟΝΤΟΣ<br>ΕΝ Τῌ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛῌ

## ΑΧΙΛΛΕΩΣ Γ. ΧΑΛΔΑΙΑΚΗ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΒΥΖΑΝΤΙΝΗΣ ΜΟΥΣΙΚΟΛΟΓΙΑΣ<br>ΚΑΙ ΤΗΣ ΨΑΛΤΙΚΗΣ ΤΕΧΝΗΣ

ΚΑΙ ΠΡΟΕΔΡΕΥΟΝΤΟΣ<br>ΕΝ Τῼ ΤΜΗΜΑΤΙ ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ

## ΙΩΣΗΦ Γ. ΒΙΒΙΛΑΚΗ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΘΕΑΤΡΟΛΟΓΙΑΣ – ΙΣΤΟΡΙΑΣ ΤΟΥ ΘΡΗΣΚΕΥΤΙΚΟΥ ΘΕΑΤΡΟΥ<br>ΤΟΥ ΜΕΣΑΙΩΝΟΣ ΚΑΙ ΤΩΝ ΝΕΩΤΕΡΩΝ ΧΡΟΝΩΝ

## ΔΙΟΝΥΣΙΟΝ Ν. ΜΟΥΣΜΟΥΤΗΝ

ΑΠΟ ΔΟΓΜΑΤΟΣ ΟΜΟΘΥΜΟΥ<br>ΤΗΣ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ ΣΧΟΛΗΣ<br>ΕΙΣ ΤΟΥΣ ΕΠΙΤΙΜΟΥΣ ΔΙΔΑΚΤΟΡΑΣ ΕΓΚΡΙΝΟΜΕΝ<br>ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ ΠΡΩΤῌ<br>ΕΤΟΥΣ ΠΡΩΤΟΥ ΚΑΙ ΕΙΚΟΣΤΟΥ ΚΑΙ ΔΙΣΧΙΛΙΟΣΤΟΥ<br>ΑΠΟ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

| Ο ΠΡΥΤΑΝΙΣ | Ο ΚΟΣΜΗΤΩΡ | Ο ΠΡΟΕΔΡΟΣ<br>ΤΟΥ ΤΜΗΜΑΤΟΣ<br>ΘΕΑΤΡΙΚΩΝ ΣΠΟΥΔΩΝ |
|---|---|---|
| ΜΕΛΕΤΙΟΣ-ΑΘΑΝΑΣΙΟΣ Κ. ΔΗΜΟΠΟΥΛΟΣ | ΑΧΙΛΛΕΥΣ Γ. ΧΑΛΔΑΙΑΚΗΣ | ΙΩΣΗΦ Γ. ΒΙΒΙΛΑΚΗΣ |